FRANCKESCHE
STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Xenophontis Memorabilia Socratis Graece

### Xenophon

### Gothae, MDCCLXXXVIII.

### VD18 12986496

Caput VIII. Eutherum ad convenientius vitae genus compellit.

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-193062

Visual Library

της ἔφη· Εἶτα οὐ λέγεις αὐταῖς τὸν τοῦ κυνὸς
λόγον; φασὶ γὰρ, ὅτε φωνήεντα ἦν τὰ ζῶα,
τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν, θαυμαστὸν
ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι, καὶ ἄρ-
νας, καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅ, τι
ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν· τῷ δὲ κυνὶ, ὃς
οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως, οὗπερ
αὐτὸς ἔχεις σίτου. τὸν κύνα οὖν ἀκούσαντα εἰ-
14 πεῖν· Ναὶ μὰ Δία. ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς
αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέ-
πτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ
ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ'
ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλη-
σθε. οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγ-
χωρῆσαι, τὸν κύνα προτιμᾶσθαι. καὶ σὺ οὖν
ἐκείναις λέγε, ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ
ἐπιμελητὴς, καὶ διὰ σὲ οὐδ' ὑφ' ἑνὸς ἀδικού-
μεναι ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι
ζῶσιν.

---

## CAPVT VIII.

### *Eutherum ad convenientius vitae genus compellit.*

Ἄλλον δέ ποτε ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδὼν, πόθεν, ἔφη, Εὔθηρε φαίνῃ; ὑπὸ μὲν τὴν κατάλυσιν τοῦ πολέμου, ἔφη, ὦ Σώκρατες, ἐκ τῆς ἀποδημίας, νυνὶ μέντοι αὐτόθεν. ἐπειδὴ γὰρ ἀφῃρέθημεν τὰ ἐν τῇ ὑπερο-

ρίᾳ

ρίᾳ g) κτήματα, ἐν δὲ τῇ Ἀττικῇ ὁ πατήρ
μοι οὐδὲν κατέλιπεν, ἀναγκάζομαι νῦν ἐπιδη-
μήσας, τῷ σώματι ἐργαζόμενος τὰ ἐπιτήδεια
πορίζεσθαι. δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι, ἢ
δεῖσθαί τινος ἀνθρώπων, ἄλλως τε καὶ μηδὲν
ἔχοντα, ἐφ' ὅτῳ ἂν δανειζοίμην. καὶ πόσον 2
χρόνον οἴει σοι, ἔφη, τὸ σῶμα ἱκανὸν εἶναι
μισθοῦ (τὰ ἐπιτήδεια) ἐργάζεσθαι h); Μὰ
τὸν Δί', ἔφη, οὐ πολὺν χρόνον. καὶ μὴν, ἔφη,
ὅταν γε πρεσβύτερος γένῃ, δῆλον ὅτι δαπά-
νης μὲν δεήσῃ, μισθὸν δὲ οὐδείς σοι θελήσει
τῶν τοῦ σώματος ἔργων διδόναι. Ἀληθῆ λέ-
γεις, ἔφη. Οὐκοῦν, ἔφη, κρεῖττόν ἐστιν αὐτό- 3
θεν τοῖς τοιούτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ
καὶ πρεσβυτέρῳ γενομένῳ ἐπαρκέσει, καὶ προσ-
ελθόντα τῳ i) τῶν πλείονα χρήματα κεκτη-
μένων, τῷ δεομένῳ τοῦ συνεπιμελησομένου, ἔρ-
γων τε ἐπιστατοῦντα, καὶ συγκομίζοντα καρ-
ποὺς, καὶ συμφυλάττοντα τὴν οὐσίαν, ὠφελοῦν-
τα ἀντωφελεῖσθαι. Χαλεπῶς ἂν, ἔφη, ἐγὼ, 4
ὦ Σώκρατες, δουλείαν ὑπομείναιμι. καὶ μὴν
οἵ γε ἐν ταῖς πόλεσι προστατεύοντες καὶ τῶν
δημοσίων ἐπιμελόμενοι οὐ δουλοπρεπέστεροι ἕνεκα
τούτου, ἀλλ' ἐλευθεριώτεροι νομίζονται. Ὅλως
μὴν, ἔφη, ὦ Σώκρατες, τὸ ὑπαίτιον εἶναί

 τινι

g) Pr. Ern. ἀφῃρέθην μὲν, vulgo ἀφῃρέθη μὲν. ὑπερορία non ab ὅρος sed ab ὄρος descendit, adeoque de quauis regione externa, licet non montibus a nostra distincta, adhiberi potest et a scriptoribus passim adhibetur.

h) Voces τὰ ἐπιτήδεια, forsan e superioribus h. l. insertae sunt.

i) Vulg. τῷ.